1327 (II 621). DECRETVM ORGEONVM MAGNAE MATRIS SACRORVM IN HONOREM HERMAEI PAEONIDAE QVAESTORIS. Piraei (εἰϲ τὸ νότιον μέροϲ τῆϲ Πειραϊκῆϲ Χερϲονήϲου), nunc in museo nat. Tabula marmoris Pentelici aetomate superata a. 0,68, l. 0,48, cr. 0,073. Litt. alt. 0,005 Α Α Λ Λ Κ Π Π Ω. Litt. v. 30—33 apicibus praeditae sunt. Exscr. †Koehler[1]. (Foucart *Assoc. relig.* p. 193 nr. 6. Michel 984). Cf. Wilhelm *AEMÖst.* XX 1897, 90. Idem *Beitr.* 239. *Ect. Phot.*

Θ ε ο ί.

c. a. 178/7. — non ϲτοιχ. (vide infra).

[Ἐ]πὶ Φίλωνοϲ ἄρχοντοϲ· Μουνιχιῶνοϲ ἀγορᾶι κυρίαι·
[ἀ]γαθεῖ τύχει· Εὐκτήμων Εὐμαρίδου Ϲτειριεὺϲ εἶπεν·
[ἐ]πειδὴ Ἑρμαῖοϲ Ἑρμογένου Παιονίδηϲ ταμίαϲ γενό-
μενοϲ πλείω ἔτη εἴϲ τε τοὺϲ θεοὺϲ εὐϲεβῶϲ διατελε[ῖ]
καὶ κοινεῖ τοῖϲ ὀργεῶϲιν καὶ ἰδίαι ἑκάϲτωι εὔχρηϲ-
τον αὑτὸν παραϲκευάζων καὶ φιλοτιμούμενοϲ τάϲ
τε θυϲίαϲ τοῖϲ θεοῖϲ θύεϲθαι τὰϲ καθηκούϲαϲ
καὶ εἰϲ ταῦτα προειϲευπορῶν πλεονάκιϲ ἐκ τῶν ἰ-
δίων καί τιϲιν τῶν ἀπογεγονότων οὐχ ὑπάρχοντοϲ
ἀργυρίου τῶι κοινῶι προιέμενοϲ εἰϲ τὴν ταφὴν τοῦ
εὐϲχημονεῖν αὐτοὺϲ καὶ τετελευτηκότας, καὶ
εἰϲ τὰϲ ἐπιϲκευὰϲ δὲ προαναλίϲκων καὶ τοῦ ἐρά-
νου τοῦ ἀργυρηροῦ ἀρχηγὸϲ γενόμενοϲ ϲυναχθῆ-
ναι, καὶ τὰ ἄριϲτα ϲυνβουλεύων καὶ λέγων διατελεῖ
καὶ ἐμ πᾶϲιν εὔνουν ἑαυτὸν παραϲκευάζων, ἀγαθεῖ
τύχει δεδόχθαι τοῖϲ ὀργεῶϲιν, ἐπαινέϲαι Ἑρμαῖον
Ἑρμογένου Παιονίδην καὶ ϲτεφανῶϲαι ἀρετῆϲ
ἕνεκεν καὶ εὐϲε[[ν]]βείαϲ τῆϲ πρὸϲ τοὺϲ θεοὺϲ
καὶ κοινεῖ πρὸϲ τοὺϲ ὀργεῶναϲ, ὅπωϲ ἂν ἐφάμιλλον εἶ
καὶ τοῖϲ λοιποῖϲ τοῖϲ βουλομένοιϲ φιλοτιμεῖϲθαι
εἰδόταϲ ὅτι χάριταϲ ἀξίαϲ κομιοῦνται *vacat*
ὧν ἂν εὐεργετήϲωϲιν τὸ κοινὸν τῶν ὀργεώνων.
ἀναθεῖναι δὲ αὐτοῦ καὶ εἰκόνα ἐμ πίνακι ἐν τῶι
ναῶι καὶ ϲτεφανοῦν καθ' ἑκάϲτην θυϲίαν αὐτόν.
ἀ[να]γράψαι δὲ τόδε τὸ ψήφιϲμα ἐν ϲτήλει λιθίνει
[τοὺϲ] ἐπιμελητὰϲ καὶ ϲτῆϲαι ἐν τῶι Μητρῴωι, τὸ δὲ
ἀνάλωμα τό τε εἰϲ τὸν πίνακα γενόμενον καὶ εἰϲ
τὴν ϲτήλην μερίϲαι ἐκ τοῦ κοινοῦ.

vacat 0,025

Ἐπὶ ἐπιμελητῶν
Νέωνοϲ Χολαργέωϲ
Ϲίμωνοϲ Πορίου
Ἐργαϲίωνοϲ.

vacat 0,12

Versus prorsus inaequalis longitudinis sunt.
De Philonis archontis aetate (178/7) vide Kolbe *Arch.* 99.
V. 9 προεισευπορῶν· Hoc verbum formatum esse sicut προεισφέρειν (t. 834. 835) monet Wilh. *AEMÖst.* Edd. priores habent προεὶς εὐπορῶν. 13 τοῦ ἐράνου τοῦ ἀργυρηροῦ κτλ.· Quaestoris auctoritate efficitur, ut deficiente crumena orgeones stipes ad lacunam aerarii explendam conferant. Wilam. 27 Μητρώιωι· Significatur hac voce templum Magnae matris; haec dea in t. 1273, qui cum nostro eodem loco repertus est, expressis verbis nominatur; Wilhelm *Beitr.* l. c. Quod sodales eiusdem collegii in t. 1273 thiasotae, in tit. supra posito orgeones appellantur cum hac sententia minime pugnat; cf. Wilhelm *Jahresh.* V 1902, 132, qui in t. 1316 idem collegium et orgeones et thiasotas significari monuit.

1328 (II 624; cf. II 5, 624 p. 170). DECRETA DVO ORGEONVM MAGNAM MATREM COLENTIVM. Piraei, nunc in museo nat. Tabula marmoris Pentelici a parte superiore fracta a. 1,06, l. 0,64, cr. 0,095. Sinistra pars tabulae vacua relicta est. Litt. alt. 0,007 Α Ε et Ϲ Π Σ, v. 21 sqq. Π Σ. Exscr. † Koehler[1]. Habui etiam collationem lapidis ex schedis Prottii. (Foucart *Assoc. relig.* 191. Prott-Ziehen II 1, 44. Michel 1559). *Ect.*

in corona

Οἱ ὀργεῶνες
τοὺς ἐπιδε-
δωκότας.

c. a. 183/2. [Ἐπ]ὶ Ἑρ[μο]γέν[ο]υ ἄρχοντος· Μουνιχιῶνος ἀγορᾶι κυρίαι· Σίμων Σίμωνος Πόριος ε[ἶπεν]· non στοιχ. 50–60.
ἐπειδὴ συμβαίνει πλείω [ἀ]νηλώματα γείνεσθαι καὶ διὰ ταῦ[τα ἀξιοῦσιν]
αἱ ἀεὶ λανχάνουσαι ἱέρειαι διάταξίν τινα ἑα[υταῖς] γενέσθαι [ε]ὐσχήμονα
καθ' ἣν λει[το]υργήσουσιν μηδεμι[ᾶ]ς [α]ὐ[τ]ạ[ῖ]ς ἐπι[θ]έṭ[ου] δαπάνης ἐπικειμένη[ς],
ἀ[γαθ]εῖ τύχει δεδόχθαι τοῖς ὀργεῶσιν, τὴν λαχοῦσαν ἱέρειαν εἰς [τὸν] μετὰ [Ἑρ]-
μογένην ἄρχοντα ἐνιαυτόν, κατὰ ταὐτὰ δὲ καὶ τὰς λοιπὰς [σ]τ[ρω]ννύειν
θρόνους δύο [ὡς] καλλίστους, περιτιθέναι δὲ ταῖς φιαληφόροις καὶ τ[α]ῖ[ς πε]-
ρὶ τὴν θεὸν οὔσαις ἐν τῶι ἀγερμ[ῶ]ι κόσμον ἀρ[γυροῦ]ν· [ἐὰ]ν [δ]ὲ παρὰ ταῦ-
τα ποιεῖ, κύριοι ἔ[σ]τωσαν οἱ ὀργεῶνες ζημιοῦντε[ς τὴ]ν [π]α[ρ]αβαίνουσά[ν]
τι τῶν γεγραμμένων μέχρι δραχμῶν π[εν]τήκον[τα κα]ὶ εἰσπραττ[όν]-
των τρόπωι ὅτωι ἂν [δύνωνται· μ]ὴ ἐξεῖναι δὲ μηθενὶ μηδ' ἐπιψηφίσαι
τὸν εἰθισμένον ἔπαινον αὐταῖς· κụ́ριοι δ' ἔστωσαν καὶ τὸ φύλλον ṭạ́[ξ]α[ι]
ὑπὲρ τῆς ἀπειθούσης· καθιστάτω δὲ ἡ ἀεὶ λανχάνουσα ἱέρε[ια ζάκο]-
ρον ἐκ τῶν ἱερειῶν [τ]ῶν γεγενε(ι)ῶν π[ρ]ότερον, δ[ὶ]ς δὲ τὴν αὐṭḥṇ [μὴ ἐξεῖ]-
ναι καταστῆσαι ἕωσς ἂν ἅπασαι διέλθωσιν, εἰ δ[ὲ μή], ἔν[οχ]ος ἔ[στω]
ἡ ἱέρεια τοῖς αὐτοῖς ἐπιτιμίοις. ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα τ[ὸν]
γραμματέα εἰς στήλην λιθίνην καὶ στῆσαι ἐν τῶι ἱερῶι.

vacat 0,016

c. a. 175/4. Ἐπὶ Σωνίκου ἄρχοντος· Μουνιχιῶνος ἀγορᾶι κυρίαι· non στοιχ. 40–50.
ἔδοξεν τοῖς ὀργεῶσιν· [Κλ]έιππος Αἰξωνεὺς εἶπεν·
ἐπειδὴ Μητροδώρα ἀ[ξι]ωθεῖσα ὑπὸ τῆς ἱερείας Ἀριστ[ο]-
δίκης τῆς γενομένης ἐπὶ Ἱπ(π)άκου ἄρχοντος ὥστε ζακο-
ρεῦσαι καὶ συνδιεξαγαγεῖν μετ' αὐτῆς τὸν ἐνιαυτὸν ἐπέ-
δωκεν αὑτὴν καὶ συνδιεξήγαγεν καλῶς καὶ εὐσχημόνως
καὶ εὐσεβῶς τὰ πρὸς τὴν θεὸν καὶ ἀνέγκλητον αὑτὴν παρε-
σκεύασεν [τ]αῖς τε ἱερείαις καὶ τοῖς ὀργεῶσιν, κατὰ ταὐτὰ δὲ [κ]αὶ
ἐπὶ Σωνίκου ἄ[ρχον]τ[ο]ς γενομένη(ς) ἱερείας Σιμάλης καὶ ἀξι-
ωσά[σης] ἐπιχωρῆσαι ἑαυτῆι τοὺς ὀργεῶνας ὥστε καταστ[ῆ]-
σαι ζάκορον Μητροδώραν καὶ ἐπιχωρησάντων αὐτῆι καὶ ταύ-
τηι συνδιεξήγαγεν τὴν ἱερωσύνην καλῶς καὶ εὐσχημό-
νως καὶ εὐσεβῶς τά τε πρὸς τὴν θεὸν καὶ τὰς ἱερέας καὶ τ[ο]ὺς (ὀργεῶνας)·
δι' ὃ κạὶ φιλοτειμοῦνται αἱ ἱέρειαι τοῦ κατασταθῆναι αὐτὴ[ν]
διὰ βίου ζάκορον τεῖ θεῶι· ὅπως ἂν οὖν φαίνωνται π[λ]εῖστ[ην]
πρόνοιαν ποιούμενοι τῆς θεοῦ καὶ ἔχηι αὐτ[οῖς] καλῶς καὶ εὐσ[ε]-
[βῶς τὰ κατὰ τ]ὴν θεόν, ἀγαθεῖ τύχει δεδόχθαι τοῖς ὀργεῶσιν,

[τ]ὰ μὲν ἄλλα πάντα π̣[ράττ]ειν κατὰ τὸ ψήφισμα ὃ Σίμων Πόριος
εἶπεν, καταστῆσαι [δ]ὲ τοὺς ὀργεῶνας ζάκορον τεῖ θεῶι διὰ [βίου]
Μητροδώραν καὶ λειτουργεῖν αὐτ[ὴν] ἀεὶ ταῖς γινομέναις
ἱερείαις παρεχομένην τὴν χρείαν καλῶς καὶ εὐσχημόνως
καὶ φροντίζουσαν ὅπως εὐσεβῶς ἔχηι τὰ κατὰ τὴν θεὸν κα[θὼς]
ἡ μήτηρ αὐτῆς Εὐα[ξ]ις διετέλεσεν τοῦτο πράττουσα. ἀναγράψαι
δὲ τόδε τὸ ψήφισμα τὸν γραμματέα εἰς τὴν στήλην τῶν ὀργεών[ων].

V. 1—20 minoribus litteris exarati sunt quam ei qui sequuntur. Suppl. †Koe. || 5 fin. 6. 7. 11 med. ἀργυροῦν. 14 med. δύνωνται. 18 med. 33 fin. Prott. || 38/9 idem apud Ziehen. 38 in. etiam Wilhelm *Philol.* LX 1901, 489 not. 5. || 7 fin. ἐπιθέτου Hiller. || 15 fin. τάξαι. 33/4 Wilam.

Alterum decretum est de expensarum certa norma constituenda in sumptibus a sacerdotibus faciendis, alterum de Metrodora ζακόρωι ad vitae tempus instituenda. De Hermogene archonte (v. 4) = 183/2 cf. PA 5121, de Sonico (v. 21) = 175/4 cf. PA 13144, de Hippaco (v. 24) = 176/5 cf. PA 7587.

V. 11 et 27 τὴν θεόν· Deam Magnam matrem Phrygiam esse vel ex eo concluditur quod v. 4 Σίμων Σ. Πόριος inter curatores huius deae recensetur, t. 1327. V. 11 ἀγερμῶι· ἀγερμόν scilicet mendicationem sacram ministrorum Magnae matris propriam esse ostendit Zieh. l. c. p. 302 nr. 116. 15 τὸ φύλλον τάξαι· Orgeonibus concessum esse videtur de sacerdote non oboediente suffragium ferre eamque sacerdotio removere (ἐκφυλλοφορῆσαι). [Koe.].

1329 (II 5, 624 b). ORGEONES MAGNAM MATREM COLENTES CHAEREAM ATHMONENSEM QVAESTOREM HONORANT. Piraei, nunc in museo nat. Tabula marmoris Pentelici a. 0,86, l. 0,42, cr. 0,115. Litt. alt. 0,009 Α Ε Γ et Π Τ Χ Δ Ο. Apographum Meletopuli, quod sequitur Kumanudes Ἀθήν. VIII 1879, 294 (litt. minusc.), exhibet Koehler[1]. (C. Schaefer *Neue Jahrb.* 1880, 423. Dittenberger 730. Michel 985). Cf. Prott-Ziehen II 1 p. 127. *Ect. Phot.*

a. 175/4. non στοιχ. 32–41.

Ἀγαθεῖ τύχει· ἐπὶ Σωνίκου ἄρχοντος, Μουνι-
χιῶνος ἀγορᾶι κυρίαι· Ὀνησίκριτος Διοκλέ-
ους Πειραιεὺς εἶπεν· ἐπειδὴ Χαιρέας εὔνους ὢν
διατελεῖ ἐν παντὶ καιρῶι τοῖς ὀργεῶσιν, κατα-
σταθεὶς δὲ καὶ γραμματεὺς ὑπ' αὐτῶν ἀπὸ
Θεοξένου ἄρχοντος οὐθὲν ἐνλέλοιπεν φιλο-
τιμίας συναύξων τε διατετέλεκεν τοῖς ὀρ-
γεῶσιν τὴν σύνοδον, πεφρόντικεν δὲ καὶ θερα-
πήας τοῦ ἱεροῦ πλεονάκις, οὐκ ἀπολέλιπται δὲ
οὐδ' ἐν ἐπιδόσει οὐδεμιᾶι, εἰσήνενκεν δὲ καὶ
ψηφίσματα ἐπὶ τῶι συνφέροντι ἵνα συνσταλῶ-
σιν αἱ λίαν ἄκαιροι δαπάναι, ἐφρόντισεν δὲ τοῦ καὶ
τοὺς δημοτικοὺς μετέχειν τῶν δεδομένων ὑπὸ
τῶν ὀργεώνων φιλανθρώπων, διατετέλεκεν δὲ καὶ
συνλειτουργῶν ἐν τοῖς ἀγερμοῖς καὶ ταῖς στρώσε-
σιν ταῖς ἱερήαις, προευχρήστηκεν δὲ καὶ διάφορον
πλεονάκις ἄτοκον ἀποδημοῦντος τοῦ ταμίου, ἐπαγ-
γέλλεται δὲ καὶ εἰς τὸν λοιπὸν χρόνον συνφροντι-
εῖν εἰς ὃ ἂν αὐτὸν παρακαλῶσιν οἱ ὀργεῶνες· ἵνα οὖν
ἐφάμιλλον ᾖ τοῖς ἀεὶ φιλοτιμουμένοις, εἰδότες ὅ-
τι χάριτας ἀξίας κομιοῦνται ὧν ἂν εὐεργετήσω-
σιν, ἀγαθεῖ τύχει, δεδόχθαι τοῖς ὀργεῶσιν, ἐπαι-
νέσαι Χαιρέαν Διονυσίου Ἀθμονέα καὶ στεφανῶ-
σαι αὐτὸν θαλλοῦ στεφάνωι ἀρετῆς ἕνεκεν καὶ
εὐσεβήας εἴς τε τὰς θεὰς καὶ τοὺς ὀργεῶνας καὶ
ἀναγορεύειν τὸν στέφανον τῇ θυσίαι τοῦ Μουνιχι-
ῶνος ὅταν καὶ τὰς ἱερείας, δοῦναι δὲ αὐτῶι καὶ εἰκό-
νος ἀνάθεσιν ἐν τῶι ναῶι. ἀναγράψαι δὲ τόδε τὸ ψήφι-
σμα εἰς στήλην λιθίνην καὶ στῆσαι ἐν τεῖ αὐλεῖ
τοῦ ἱεροῦ.

in corona

Οἱ ὀργεῶνες
Χαιρέαν
Διονυσίου
Ἀθμονέα.

V. 12 fin. τοῦ primo a quadratario omissum supra vocem καί positum est. || V. 20 in. et 26 med. iota mutum omissum est, at positum fin. v. 27 in voce αὐτῶι, quod contra Schaeferum moneo.

De Sonico archonte vide tit. antecedentem, de Theoxeno (v. 6 = a. 187/6) cf. PA 6983. Kolbe *Arch.* 97.

V. 12 αἱ λίαν ἄκαιροι δαπάναι· cf. t. 1328, 5 et quae adnotavit Ziehen l. c. 16 προευχρήστηκεν καὶ διάφορον· Dttb. provocat ad tit. Oropium a. 329/8 (IG VII 4254 = Syll. 639, 38), ubi publicus civitatis quaestor iubetur τὸ ἀργύριον τὸ εἰς τὴν θυσίαν προδανεῖσαι. 20 εἰδότες· De anacoluthia cf. t. 1243, 16. 25 τὰς θεάς· Intellegendae sunt Magna mater et Venus Syria; Foucart *Assoc. relig.* 99 sqq. Poland *Gr. Vereinsw.* 10.

1330 DECRETVM SYNODI ARTIFICVM SCAENICORVM IN HONOREM ARIARATHIS V REGIS CAPPADOCIAE EIVSQVE VXORIS NYSAE. Athenis in stadio. Tabula marmoris Pentelici a. 0,96, l. 0,29, cr. 0,13. Edd. Perdrizet et Colin *Bull. Hell.* XIX 1895, 540 litt. maiusculis supplementis textui insertis. (Dittenberger Or. 352. Schebelew De Atheniensium rebus gestis a. 229—31 1898 p. 206 lingua Rossica).

post a. 163.

non ϲτοιχ. 56–62.

[Ἔδοξεν τοῖϲ περὶ τὸ]ν Διόν[υϲ]ον τ[εχνίταιϲ]·
[ἐπειδὴ βαϲιλεὺϲ] Ἀρι[α]ράθηϲ Εὐ[ϲεβὴϲ καὶ Φιλοπάτωρ - - - - - - - -]
[- - - - - τιμ]ώμενοϲ ὑπὸ [τοῦ κοινοῦ τῶν περὶ τὸν Διόνυϲον τεχνιτῶν]
[- - - - - - ἀ]ποϲτειλάντ[ων - - - - - - - - - - τῶν τεχνιτῶν]
[τῶν ϲυντελούντων Ἀθ]ήνηϲιν ψήφιϲ[μα καὶ πρεϲβείαν - - - - - - - -]
ιο̣[- - - - - - ἀ]πεδέξατο φιλ[οφρόνωϲ - - - - - τοῦ ἐπιμελητ]-
οῦ [καὶ Μενελάου π]οιητοῦ τραγῳ[ιδιῶν - - - - - - - - - - - - -]
.α - - - - - - Λ.ΕΓΕΝΙ.ΣΚ - - - - - - - - - - - - - -
λα - - - - - - .ου ἀρχαι - - - - - - - - - - - - - - -
.ω[- - - - - ἐν]δοξοτάτη - - - - - - - - - - - - - - -
.αι - - - - - - ϲ Ῥωμαίων κ - - - - - - - - - - - - - -
α̣κι - - - - - - - υϲαν παρεκά[λεϲαν δὲ τὸν βαϲιλέα ἐπιμελεῖϲθαι ὅπωϲ ἡ ϲύ]-
νοδ[οϲ τῶν τεχνιτῶν α]ὐξηθήϲεται τ - - - - - - - - - - - - -
και - - - - - - ιαϲ, ἐφ᾽ οἷϲ ἀποδ[εξάμενοϲ τὴν αἵρεϲιν αὐτῶν φιλανθρώπωϲ καὶ]
γεν̣[ναίωϲ ὑπέϲχετο π]έμψειν δωρεὰ[ϲ - - - - - - - - - - - - -]
νηφ - - - - - - ια . καὶ ἐξαπέϲτ[ειλεν - - - - - - - - - -]
τριο - - - - - - αι καὶ ἡ ϲύνοδοϲ - - - - - - - - - - - - -
μεγα - - - - - - ντας ἑαυτὴν ἀπο[- - - - - - - μὴ λείπεϲθαι ἐν]
χάριτ[ο]ϲ [ἀποδόϲει] ἀλλὰ μεγάλαιϲ καὶ [καλαῖϲ τιμαῖϲ κοϲμεῖν, ὅπωϲ ἡ πρὸϲ τοὺϲ]
εὐεργέταϲ [χάριϲ] ἅπαϲιν ἀνθρώποιϲ [φανερὰ γίγνηται, ἀγαθῆι τύχηι· δεδόχθαι]
τοῖϲ περὶ τὸν Διόνυϲον τεχνίταιϲ ἐπ[αινέϲαι μὲν βαϲιλέα Ἀριαράθην Εὐϲεβῆ]
καὶ Φιλοπάτορα βαϲιλέωϲ Ἀριαράθου [Εὐϲεβοῦϲ καὶ βαϲιλίϲϲηϲ Ἀντιοχίδοϲ]
εὐϲεβείαϲ ἕνεκεν καὶ δικαιοϲύνηϲ καὶ [φιλοτιμίαϲ τῆϲ εἰϲ τοὺϲ τεχνίταϲ]·
ϲτῆϲαι δὲ αὐτοῦ καὶ ἄγαλμα παρὰ τὸν θε[ὸν - - - - καὶ εἰκόνα χαλ]-
κῆν ἐν τῶι προπυλαίωι τοῦ τεμένουϲ καὶ [- - - - - - - ἀνειπεῖν δὲ]
καὶ τῶν εἰκόνων τὴν ἀνάθεϲιν Διονυϲί[ων τε τῶν ἐν ἄϲτει καινοῖϲ τραγῳι]-
δοῖϲ καὶ Παναθηναίων καὶ Ἐλευϲινίων τοῖ[ϲ γυμνικοῖϲ ἀγῶϲι· τῆϲ δὲ ἀναγορεύ]-
ϲεωϲ ἐπιμεληθῆναι τὸν ἐπιμελητήν. πα[ραϲκευάϲαι δὲ ἱερεῖα εἰϲ θυϲίαν τῶι]
Διονύϲωι ἀπὸ τῶν προϲόδων κοινῶν κ[άλλιϲτα τὸν ἐπιμελητὴν καὶ Μενέλαον]
ποιητὴν τραγικὸν μετὰ τοῦ ἱερέωϲ τοῦ Δ[ιονύϲου καὶ θῦϲαι ὑπὲρ ϲωτηρίαϲ τῆϲ]
ϲυνόδου καὶ βαϲιλέωϲ Ἀριαράθου καὶ βαϲιλ[ίϲϲηϲ Νύϲηϲ - - - - - -]
καὶ μερίδα νεῖμαι πᾶ[ϲ]ιν τοῖϲ μετέχουϲιν [τῆϲ ϲυνόδου καὶ παιϲὶ καὶ γυναιξὶν?]
[α]ὐ[τ]ῶν. μερίϲαι δὲ τὸν [ἐπ]ιμελητὴν τοῦ Μετ[αγειτνιῶνοϲ μηνὸϲ τὴν τετράδα]
[ἐ]πὶ δέκα ὑπὲρ τοῦ βαϲ[ιλ]έωϲ καὶ τὴν πέμπτ[ην ἐπὶ δέκα ὑπὲρ τῆϲ βαϲιλίϲϲηϲ]
παι...ν, τὸν [δ᾽] ὑπηρέτην προγρ[ά]ψαι - - - - - - - - - - - - -
ἡμερῶ[ν] τοῦ βαϲιλέωϲ Ἀριαράθου καὶ ϲ[τε]φα[νοῦν τὸ ἄγαλμα τὸ τοῦ βαϲιλέωϲ]
καὶ θυμιᾶν κ[αὶ] δᾶιδα ἱϲτάνειν καὶ ἐν τ...ϲι[- - - - - - - - - βα]-
ϲιλεῖ Ἀριαράθει Εὐϲεβεῖ καὶ Φιλοπάτορι . ο λ[- - - - - - εἶναι δὲ ἡμέ]-
ραν ἐπώνυμον κατὰ μῆνα τὴν τετράδα ἐπὶ δ[έκα - - - - καὶ τῆι ἡμέ]-
ραι ταύτει μετὰ τὸ τοῦ Διον[ύ]ϲου καὶ ἰδία[ι θῦ]ϲα̣[ι? - - - - - - - -]
μένου τὸ νικῆϲαν· καταλέγε[ιν] δὲ τὸν ἐπιμελη[τὴν τοὺϲ - - - - - - -]
ἀπαρξο[μέ]νουϲ· εἰ δὲ μή, ζημ[ι]οῦν τὸμ μὴ πε[π]οι[ηκότα. τῆι δὲ - - - τοῦ αὐ]-
τοῦ μηνὸϲ τοῦ βαϲιλέωϲ Ἀριαράθου κατ᾽ ἐνιαυ[τὸν ἀγῶνα μουϲικὸν τιθέναι τοὺϲ]
τεχνίταϲ καὶ διδόναι τῶν ᾠιδῶν τῶι νικήϲα[ντι - - - - - - - - - -]
καὶ κωμῳιδοῖϲ παλαιοῖϲ καὶ τραγῳιδοῖϲ, κατὰ [τὰ αὐτὰ δὲ καὶ καινοῖϲ κωμῳι]-
δοῖϲ καὶ τραγῳιδοῖϲ. ἑλέϲθαι δὲ ἤδη ἐξ ἑαυτ[ῶν τρεῖϲ ἄνδραϲ μετὰ τοῦ ἐπιμελη]-
τοῦ καὶ τοῦ ἱερέωϲ τοὺϲ τεχνίταϲ οἵτιν[εϲ τῆϲ τε ποιήϲεωϲ τῶν εἰκό]-
νων ἐπιμελήϲονται καὶ ἀναθήϲουϲιν ὡϲ κ[άλλιϲτα - - - - - - - -]
κοινά. καὶ [ἐ]ὰν πρεϲβεία τιϲ ἔλθῃ παρὰ Ἀρια[ράθου - - - - - - -]
γίνωνται, θεωροδόκον ἀεὶ ὑπακούειν κα[ὶ - - - - - - - - - - τὸν]
ἐπιμελητὴν τῶν τεχνιτῶν καὶ ἐὰν καὶ [- - - - - - - Παναθηναίοιϲ]

ἢ Ἐλευσινίοις βοῦν τε παρασκευάζε[ιν - - - - - - - - - - ἑλέ]-
σθαι ἐξ ἑαυτῶν οἵτινες ὑπὲρ βασιλέ[ως Ἀριαράθου καὶ βασιλίσσης Νύσης]
θύσουσιν καὶ τἆλλα πράξουσιν ὅσα κα[λὰ νομίζεται, ἵνα τούτων συντελου]-
μένων ἀ[π]ολαμβάνῃ τὰς προση[κ]ούσας [χάριτας παρὰ τῶν τεχνιτῶν καὶ πολ]-
λοὶ [ζ]ηλωταὶ γίνωνται τῆς ὁμοίας αἱρ[έσεως ὁρῶντες τιμωμένους τοὺς]
τοῖς περὶ τὸν Διόνυσον τεχνίταις αἰτί[ους γιγνομένους ἀγαθῶν. ἑλέσθαι δὲ ἤ]-
δη τρεῖς ἄνδρας ἐξ ἑαυτῶν οἵτινες τό [τε ψήφισμα τόδε παραδώσουσι καὶ εὐ]-
χαριστήσουσι[ν] τῶι βασιλεῖ Ἀριαράθει [καὶ παρακαλέσουσι διατελεῖν παρ]-
έχοντα τήν τε ἀσυλίαν καὶ ἀσφάλειαν [καὶ ἀτέλειαν - - - - - - -]
αὐτὸν τὴν δεδομένην ἐξ ἀρχῆς π[αρὰ] Ἀ[ριαράθου? - - - - - - -]
καὶ τῶν ἄλλων ἁπάντων καὶ ἀεί τινος [ἀγαθοῦ παραίτιον γίγνεσθαι αὐτοῖς]
καθάπερ καὶ αὐτὸς ἐπαγγέλλεται. ἀνα[γράψαι δὲ τὸν γραμματέα τόδε τὸ]
ψήφισμα εἰς στήλην λιθίνην κ[α]ὶ στῆσα[ι παρὰ τὴν εἰκόνα, εἰς δὲ τὴν ποί]-
ησιν καὶ τὴν [ἀ]ναγραφὴν μερίσαι τὸν ἐπ[ιμελητὴν τὸ γενόμενον ἀνάλωμα].
π ρ έ σ β ε ι ς ε ἱ [ρ έ θ η σ α ν]·
Μενέλαος ποιητὴς τραγικός, Θεόδοτος Κιθ[αρῳδός - - - - - - - -]

vacat spatium unius versus

Ἔδοξεν τοῖς περὶ τὸν Διόνυσον τε[χνίταις]·
ἐπειδὴ βασίλισσα Νῦσα βασιλέως [- - - - - - - - -, γυνὴ δὲ βασι]-
λέως Ἀριαράθου, εὔνους ὑπάρχει τ[ῶι δήμωι τῶι Ἀθηναίων καὶ τῶι κοι]-
νῶι τῶν περὶ τὸν Διόνυσον τεχνιτ[ῶν - - - - - - - - - - -]
[π]ρεσβευταὶ οἵ τε παρὰ τοῦ δήμου ἀ[πεσταλμένοι τοῦ Ἀθηναίων καὶ τῆς συνόδου]
τῶν τεχνιτῶν ἀπομαρτυροῦσ[ι]ν ΗΙ- - - - - - - - - - - - -
τοῦ δήμου καὶ τῆς συνόδου καὶ συμπ[ράττ- - - - - - - - - - -]
διατελεῖ πάντα τὰ καλῶς ἔχοντα δ[- - - - - - - - τῶν περὶ τὸν]
Διόνυσον τεχνιτῶν ἅμα τῶι ἀποδ- - - - - - - - - - - - - -
βασιλέως Ἀριαράθου τὴν διασαφ[ουμένην - - - - - - - - - ἀπε]-
σ[τ]αλμένης τῆι συνόδ[ωι]· ἐβουθύτ[ησε δὲ καὶ - - - - - ὑπὲρ τοῦ]
[βα]σιλέως Ἀριαράθου καὶ [τ]ῆς βασιλ[ίσσης Νύσης - - - - - - - -]
αὐτὸν καὶ ἐμέρισεν ἀρ[γύ]ριον εἰς [τὴν τοῦ βασιλέως Ἀριαράθου]
γενέθλιον ἡμέραν καὶ εἰς τὴν ἐχο[μένην τὴν τῆς βασιλίσσης]
[Ν]ύσης κα[ὶ - - -]υ καὶ ἐπὶ - - - - - - - - - - - - - -
αὐτῶν κα[ὶ - - - -]ησεν, ἵν[α? - - - - - - - - - - - - - -]
. . . ΙΟΙ- - - - - ας εἰς τ- - - - - - - - - - - - - - -
[- - - - - - παρ]αίτ[ιον γίγνεσθαι - - - - - - - - - -]

Suppl. edd. Galli et maxime Dttb. || 33 fin. 38 fin. 40. 54. 74 Ki.
Ariarathes V, antequam regno Cappadociae c. a. 163 potitus est, Athenis versatus et civitate Attica donatus est, Dittenberger 298. PA 1608. Ex eo tempore eum cum collegio artificum scaenicorum habuisse aliquam necessitudinem veri simile est. Decretum supra positum pertinet ad tempora, quibus Ariarathes rex Cappadociae erat (scil. 163—130, Niese apud Pauly-Wissowa II 818, 11. 51). Eius uxor Νῦσα (v. 69) memoratur in nummis Cappadociae, Head Hist. num.[2] 751: Βασιλίσσης Νύσης καὶ βασιλέως Ἀριαράθου (= V) Ἐπιφανοῦς τοῦ υἱοῦ.

V. 61. Videtur hic aliquis ex Ariarathis maioribus commemoratus fuisse, qui primus illa privilegia synodo artificum Dionysiacorum concesserit. Dttb.

V. 67 Μενέλαος· Idem videtur esse Μ. Ἀρίστωνος, θεωρὸς τεχνιτῶν Delphos missus a. 128 in tit. Delph., *Fouilles de Delphes* III 2, 47. 54. Cf. Klaffenbach Symb. ad hist. collegiorum artificum Bacchiorum 1914, 60. 68.

1331 (Fr. *b* = II 626). DECRETVM COLLEGII TECHNITARVM IN HONOREM ARIBAZI PIRAEENSIS. In museo nat. Fragmenta duo marmoris caerulei quae coniunxit Wilhelm *UDA* 225. Fr. *a* a sinistra margo; a. 0,23, l. 0,15, cr. 0,085. Ed. litt. minusc. addita imagine photographica Wilhelm l. c. Fr. *b* infra integrum a. 0,34, l. 0,21, cr. 0,115. Edd. Kumanudes Ἐπιγρ. Ἑλλ. ἀνέκδ. ἐν Ἀθήν. 1860 ἀρ. 50, cuius exemplum exhibet Koehler[1]. Wilhelm litt. minusc. addita imagine photographica. Litt. alt. 0,009 elegantes Α Ε Π Σ Μ Ω. *Ect.*

c. a. 130. — non στοιχ. c. 50.

a
[- ἐπειδὴ]
[Ἀρί]βαζος Σ[ελεύκου Πειραιεὺς - - - - - - - - - - -]
[κ]αὶ πολλὰς - - - - - - - - - - - - - - - - - - -
εἶχε κοινεῖ τ[ε πρὸς τὸ κοινὸν τῶν τεχνιτῶν καὶ ἰδίαι πρὸς ἕνα]
ἕκαστον αὐτ[ῶν - - - - - - - - - - - - - - - - ἐποι]-

[ἥ]ϲατο πρόνοιαν [τ- - - - - - - - - - - - - - - -]
[κ]αὶ βουλόμενοϲ ἐπα[ύξειν? - - - - - - - - - - - -]
ἔτι δὲ τῆϲ ἑαυτοῦ φ[ιλοτιμίαϲ - - - - - - τοῖϲ ὑπ' αὐτοῦ?]
[ε]ὖ π[α]θοῦϲιν ὑπόμν[ημα - - - - - - ἐκούφιϲεν τὴν ϲύ]-
[ν]ο[δ]ον πλειόνων δ[απανῶν - - - - - - - - - - - -]
..‾εια τὰ ὄντα ἐν τ- - - - - - - - - - - - - - - -
[ὅπ]ωϲ προϲόδου /- - - - - - - - - - - - - - - -
.έν τε̣ τὴν ἐπιδε- - - - - - - - - - - - - - - -
[καὶ] ἐ[πιδίδω?]ϲι αὐτ- - - - - - - - - - - - - - - -

b - - - - - - - ω̣ϲ κα[ὶ ἀ]ν[α- - - - - - - - - - -]
[- - - - - κω]μικὸν ποιητὴν Ι- - - - - - - - - - -
[- - - - - - Ποϲει]διππείου ὅπωϲ τ[ούτων ϲυντελουμένων]
[ὑπόμνημα ὑπάρχηι] τοῖϲ ἐπιγινομένο[ιϲ τῆϲ πρὸϲ τοὺϲ εὐερ]-
[γετήϲανταϲ τὸ κοιν]ὸν εὐχαριϲτίαϲ. Ὁ ε[ἰρημένοϲ ἐπὶ τῆϲ τοῦ ἀν]-
[δριάντοϲ καταϲκευ?]ῆϲ καὶ ἀναθ[έ]ϲεωϲ Κ- - - - -

vacat 0,04

Οἱ τεχνῖται
Ἀρίβαζον
Ϲελεύκου
Πειραιέα.

Fr. *b* v. 7—10 olim corona hederacea picta circumdatos esse conicit Wilh. Fr. *a* et *b* suppl. Wilh.
Titulum c. a. 130 exaratum esse ex litteratura colligit Wilhelm, qui eum aetate supparem habet titulo 977. Ἀρίβαζοϲ Ϲ. Πειρ. igitur idem est atque ἐπιμελητήϲ cognominis IG II[1] 952, 14.
Fr. *b* 3 Ποϲειδιππείου· cf. supra tit. 1320.

1332 (II 625). DECRETVM COLLEGII TECHNITARVM? In radicibus arcis inter septentriones et occasum solis spectantibus (nr. lap. 1000), nunc in museo nat. Tabula marmoris Hymettii valde detrita, a sinistra margo; a. 0,28, l. 0,26, cr. 0,12. Litt. alt. 0,006 Α Λ Ͱ Ϲ Τ Υ. Exscr. † Koehler[1]. *Ect.*

.^c. 4^. το.χο.ιο- - - - - - - - - - - - - - non ϲτοιχ.
.^c. 4^.ν τοῦ τοϲάκ̣ιϲ - - - - - - - - - - - - -
..^c. 5^.ν καὶ τῆϲ ϲυνόδου καὶ - - - - - - - - - -
..^c. 5^. ἐν τοῖϲ λο[ι]ποῖϲ δραχμα- - - - - - - - -
[κατ]ὰ τετρώβολον ἡμιωβέλιο[ν - - - - - - - -]
[ὑ]π[έ]ρ τε τοῦ ἱεροῦ καὶ τοῦ τεμέν[ουϲ - - - - - -]
.. τοῦ [ἱε]ροῦ τοῦ ἀρχαίου τῶν παϲα- - - - - - -
.αι ἀνευρὼν ..ϲα..ε̣.. μέχ[ρι] τε[- - - - - δι' ἐτῶν]
πλειόνων καὶ πᾶϲαν δαπάνην - - - - - - - - -
..δε[ικνύ]μενοϲ πρόϲ τιναϲ δυνατο- - - - - - - -
.ουϲ[ι] τὸ ἱερὸν δι' ἐτῶν πλειόνω[ν - - - - - - -]
...ϲ αὐτοῦ φιλοτιμίαϲ τῶν τεχ[νιτῶν - - - - - -]
τ̣ά̣ϲ̣ τ[ε ...] δι' ἐτῶν πλειόνων καὶ ε- - - - - - -
...β....ϲ πρὸϲ τοὺϲ διακατ[έ]χ[ο]ντα[ϲ - - - - - -]
...ου‾...\ υ̣χ̣ά̣τουϲ ὄνταϲ καὶ ἀνακτ- - - - - - -
..ο...μ....υ̣.. εἰϲήνεγκεν δόγμα π- - - - - - -
..^c. 5^.. ϲπ..^5^.. τοῦ μέρουϲ τούτου ἐμ- - - - - - -
......^13^...... μεια ἐν ταῖϲ καθηκ[ούϲαιϲ ἡμέραιϲ - - -]
a. 125/4. τ.....^12^......ε τὸν ἐπὶ Ἰάϲονοϲ ἄρ[χοντοϲ - - - -]
.......^c. 17^........ πρότερον ε̣..ο- - - - - - - -
..'ΙΑ.Υ.....μα ἐπεϲκεύαϲεν - - - - - - - - -
.....^c. 12^.....λην.λιε- - - - - - - - - - - -

Suppl. Koe. || 2. 5 in. Hiller.
De Iasone archonte (v. 19) vide PA 7427.

1333 (II 456). DECRETVM COLLEGII. In arce (nr. lap. 1161), nunc in museo nat. Tabula marmoris Hymettii a. 0,32, l. 0,28, cr. 0,16. Litt. alt. 0,008 Α Μ Ν Ͳ Σ. Exscr. † Koehler[1]. Cf. Wilhelm Ἐφ. 1905, 242. *Ect.*

post med. s. II. — non ϲτοιχ. 54–56.

- - - - -χ- - - - - - - - - - - - - - - - - - - -
- - - δ[ρ]αχμ- - - - - - - - - - - - - - - - - - -
- - -ουϲ ϲτρα- - - - - - - - - - - - - - - - - - -
- - -ọι ὑπ' αὐτοῦ - - - - - - - - - - - - - - - - - -
- - -ο.ιον καὶ ϲτ- - - - - - - - - - - - - - - - - -
- - -ειαι ἐκ τ[ῶν ἰδίων ..c.6..] τὸν δᾶμον - - - - - - - - -
[- κατ]ὰ μᾶνα ε..c.5..ον ϲ[τεφάν]ωι καὶ λ[η]μνίϲ[κωι - - - - - - - -]
- - τὸν ταμίαν [καὶ] τὸν γρ[αμμ]ατέα καὶ τοὺϲ ἐπ[ιμελητὰϲ - - - -]
- - -ττα[κ]ον ον...c.7...ε..c.6..τα.εραϲọϲ- - - - - - - - - -
- - - - -ον κα[ὶ τὸν γρ]αμ[μ]α[τ]έα Διονύϲιον - - - - - - - -
- - - - -η.τ[.χρή]ϲιμ.. ἑαυτοῖϲ καὶ αϲ̣- - - - - - - - - - - -
[ζηλωταὶ γίν]ωνται τ[ῶ]ν ὁμοίων εἰδότεϲ ὅτ[ι κομιοῦνται χάριταϲ ἀξί]-
[αϲ. ἀναγράψαι δ]ὲ τόδε τὸ ψήφιϲμα ἐν ϲτήλη[ι λιθίνηι καὶ ϲτῆϲαι ἐν ἀκρο]-
[πόλει, εἰϲ δὲ τὴν ἀνα]γραφὴν μερίϲαι τὸν ταμί[αν τὸ γενόμενον ἀνάλωμα].

Suppl. Koe. || 8 fin. 12 in. 14 fin. Wilh. || 6. 12 fin. 13/4 Ki. Idem 9 in. [Βύ]ττα[κ]ον coll. PA 2993. || 11 Klaffenbach. Wilh. v. 7 collato cum t. 1297 ϲτεφανῶϲαι τὸν ἀρχεραniϲτὴν θαλλοῦ ϲτεφάνωι καὶ λημνίϲκωι haec ad collegium aliquod pertinere probavit.

1334 (II 623). DECRETVM ORGEONVM IN HONOREM SACERDOTIS. Lapis Piraei repertus in insulam Melum delatus et hinc Athenas transportatus est, nunc in museo nat. Tabula marmoris Pentelici a. 0,18, l. 0,14, cr. 0,054. Litt. alt. 0,005 Α Ͳ et Π Ξ Ι Σ Τ Χ. Ed. Kumanudes Ἐπιγρ. Ἑλλην. ἀνέκδ. 1860 nr. 6. Exscr. Koehler[1]. (Foucart *Assoc. relig.* p. 197). *Ect.*

fin. s. II. — non ϲτοιχ. (vide infra).

[Ἐπὶ - - - ἄρχο]ντοϲ· Μου[νιχιῶνοϲ ἀγορᾶι]
[κυρίαι· ἔδοξεν τοῖϲ ὀ]ργεῶϲιν· Ἐ- - - - - -
[- - - - εἶπεν]· ἐπειδὴ Ὀν[α]ϲ[ὼ] Θ̣ẹ[ωνοϲ? πρό]-
[τερον μὲν ἱέρεια λα]χοῦϲα εἰϲ τὸν ἐνιαυτὸν τὸν
[ἐπὶ - - - ἄρχον]τοϲ *v* ὁμοίωϲ δὲ κ[αὶ] πάλιν
[λαχοῦϲα εἰϲ τὸν ἐπὶ] Ζηνίωνοϲ ἄρχοντοϲ ἐνιαυτὸṇ
[καλῶϲ καὶ εὐϲεβῶϲ τὴ]ν ἱερωϲύνην διεξήγαγεν προ-
[νοουμένη τῆϲ περὶ τὸ ἱε]ρὸν εὐκοϲμίαϲ καὶ τὰ λοιπὰ ἐ-
[φιλοτιμήθη ὅϲα καθῆ]κον ἦν τεῖ θεῶι, ἔθυϲεν δὲ καὶ
[τὰϲ καθηκούϲαϲ θυϲίαϲ] ἀλύπωϲ τε πρὸϲ πάνταϲ ἀν-
[εϲτράφη τοὺϲ ὀργεῶναϲ]· ἵνα οὖν καὶ οἱ ὀργεῶνεϲ φα-
[ίνωνται τὴν ἀξίαν χάριν] ἀποδιδόντεϲ ταῖϲ φιλοτ-
[ιμουμέναιϲ τῶν λαγχανο]υϲῶν ἱερειῶν εἰϲ τὴν
[θεόν, δεδόχθαι τῶι κοινῶι τῶν ὀρ]γεώνων, ἐπαινέϲαι τὴν
[ἱέρειαν Ὀναϲὼ καὶ ϲτεφα]ṇῶϲαι θαλλοῦ ϲτεφά-
[νωι ἀρετῆϲ ἕνεκα καὶ εὐϲεβεία]ϲ (τῆϲ) εἰϲ τὴν θεὸν καὶ φιλο-
[τιμίαϲ τῆϲ εἰϲ τοὺϲ ὀργεῶναϲ· ἀ]ναθεῖναι δὲ αὐτῆϲ καὶ ε-
[ἰκόνα ἐν τῶι ναῶι, ϲτεφαν]οῦν δὲ αὐτὴν καθ' [ἑκάϲτ]-
[ην θυϲίαν - - - καὶ] εἰϲ τὸν ἔπ[ειτα χρόνον -]
- - - - - - - - - ι⁻ - - - - - - - -

Versus inaequalis longitudinis sunt. Suppl. Kumanudem secutus Koe. || 6 Ζηνίωνοϲ Ki. Primam litteram fuisse aut Ι aut Τ aut Γ adnotavit Kum. Est procul dubio Ι. || ibid. fin. ἐνιαυτόν Ki. (ἐν ἐνιαυτῶι Koe.).

Zenionis archontis nomen adhuc ignotum est. Διότιμοϲ Ζηνίωνοϲ Μαραθώνιοϲ inter ephebos recensetur ἐπὶ Ἐχεκράτουϲ ἄρχ. (101/100), t. 1028, 112. cf. infra t. 1339. Nescio an huius pater sit archon, quem ultimis annis secundi saeculi assignandum esse existimamus.

V. 16 τὴν θεόν: Est nimirum Magna mater; C. Schaefer *Neue Jahrb.* 1880, 423. A. Koerte *Ath. Mitt.* XXI 1896, 307.

1335 (II 5, 626 b). DECRETVM SABAZIASTARVM DE NOMINIBVS ERANISTARVM IN TABVLA INCIDENDIS. Piraei, nunc in museo Piraeensi. Tabula marmoris Pentelici infra mutila a. 1,39, l. 0,35. Litt. alt. 0,008 Α Ξ Θ Μ Ͳ Σ et Σ Ω. Edd. Kumanudes Ἐφ. 1883, 246. Ex ectypo Lollingii Koehler[1]. (Michel 972). Cf. Ziebarth *Neue Jahrb.* 1904, 570. *Ect. Phot.*

θ ε ο [ί].
a. 102/1. Ἀγαθεῖ τύχει· ἐπὶ Θεοκλέουϲ ἄρχον-
τοϲ· Μουνιχιῶνοϲ ἀγορᾶι κυρίαι·
ἔδοξεν τοῖϲ Ϲαβαζιαϲταῖϲ, ἀνα-
γράψαι τὰ ὀνόματα τῶν ἐρανι-
ϲτῶν ἐν ϲτήληι λιθίνηι καὶ ϲτῆϲαι
ἐν τῶι ἱερῶι.
ἱερεὺϲ
Ζήνων Ἀντιοχεύϲ·
ταμίαϲ καὶ
γραμματεὺϲ
καὶ ἐπιμελητὴϲ
Δωρόθεοϲ Ὄαθεν.
Ἐρανιϲταί·
Εὔβουλοϲ Ϲημαχίδηϲ
Βάκχιοϲ Μιλήϲιοϲ
Ξενοκλείδηϲ Ϲουνιεύϲ
Διοκλῆϲ Κολωνῆθεν
Ἔπαινοϲ Φαληρεὺϲ νε(ώτεροϲ)
Ϲωμένηϲ Οἰναῖοϲ
Ἔπαινοϲ Φαληρεὺϲ πρεϲ(βύτεροϲ)
Διογένηϲ Μακεδών
Φαῖδροϲ Μιλήϲιοϲ
Διογένηϲ Ἀμφιτροπῆθεν
Ἀπελλῆϲ Κολωνῆθεν
Ἀπολλόδωροϲ Τρικορύϲιοϲ
Φιλοκράτηϲ Ξυπεταιών
Θεοδόϲιοϲ Ἀχαρνεύϲ
Κόϊντοϲ Προβαλίϲιοϲ
Ἀρτέμων Λαοδικεύϲ
Διονύϲιοϲ Λαοδικεύϲ
Δημήτριοϲ Ἀντιοχεύϲ
Διόδοτοϲ Ἁλιμούϲιοϲ
Διονύϲιοϲ Ἁλιμούϲιοϲ
Ἀθηνόδοτοϲ Οἰναῖοϲ νε(ώτεροϲ) non ϲτοιχ.
Μενέδημοϲ Μακεδών
Ϲκ̣ρ̣αμ̣β̣ο̣ϲ̣ Αἰθαλίδηϲ
Θεοδόϲιοϲ Ἀγνούϲιοϲ
Ζώβιοϲ Ἡρακλεώτηϲ
Διονύϲιοϲ Φλυεύϲ
Εὐφρόνιοϲ Φαληρεύϲ
Εὐρύϲτρατοϲ Κικυννεύϲ
Ἀθηνόδοτοϲ Οἰναῖοϲ πρε(ϲβύτεροϲ)
Διονύϲιοϲ Ἕρμειοϲ
Ϲῶϲοϲ Μαρωνίτηϲ
Φίλων
Λῦϲιϲ Παλληνεύϲ
Πλούταρχοϲ Αἰγινήτηϲ
Ἀριϲτοτέληϲ Παιανιεύϲ
Ὠκυμένηϲ Προβαλίϲιοϲ
Πύθων
Πολέμαρχοϲ Φαληρεύϲ
Ϲωϲιγένηϲ Προβαλίϲιοϲ
Ῥόδιπποϲ Ῥαμνούϲιοϲ
Ϲωϲιγένηϲ Ἀπαμεύϲ
Φιλόϲτρατοϲ Κολωνῆθεν
Μενέμαχοϲ Παιανιεύϲ
Ἀγαθοκλῆϲ δημόϲιοϲ
Ἀριϲτόνικοϲ Ὄαθεν
Δημήτριοϲ Ἀλωπεκῆθεν
Λήναιοϲ Μιλήϲιοϲ
Θέων Ὄαθεν
Ϲωτᾶϲ Ἀναγυράϲιοϲ
Εὐβουλίδηϲ
Δημήτριοϲ Ἀμαξαντεύϲ
vacat 0,32
[ἀνεγρά]φ̣η̣ ἐπὶ Μηδείου Μουνιχιῶνοϲ.

Suppl. 66 Wilam.
De Theocle archonte (a. 102/1), de v. 66 Medeo (a. 100/99) cf. Kirchner *Gött. gel. A.* 1900, 473. Kolbe *Arch.* 137. Nonnullos ex his eranistis iam ante a. 102/1 simul ephebos fuisse ostendit Zieb.

1336 (II 638). DECRETVM SODALITATIS. In vico Keratea. Ex schedis Fourmonti Boeckh CIG 114. Eundem titulum ibidem inaedificatum in limine ecclesiae S. Demetrii Ross (in schedis) se vidisse testatur. Milchhoefer *Ath. Mitt.* XIII 1887, 287 nr. 203 lapidem citavit, non vidit. Boeckh expressit apographum Fourmonti. Ross, qui titulum valde detritum esse affirmat, tantummodo v. 1—5 praebet.

fin. s. II? - - - - - - - ΙΜ . . Υ . . Ι . . Υ . . ΟΙΔ - - - - - non ϲτοιχ.
[- - - - - μη]νὸϲ Μουνιχιῶνοϲ ὀγδό[ηι - - -]
- - - - - - τηϲ Διονυϲόδωροϲ Καλλ̣ - - - -
- - - ἐπὶ - - - δου ἄρχοντοϲ ΤΗΝ - - - - -
- - - - - - ιου καὶ βουληθέντων ΤΑΔ - - -
- - - - - - ϲτου τῶν Τ? ἐπὶ ταῦτα ἀρχη? - -
- - - - - - ΟΝΤΙΔΟΦΙΛΩΝ ΤΩΝ ΗΜΩΝ? ΕΠ - - -
- - - - - - τὰϲ θυϲίαϲ μετὰ . . ουϲ - - - - -
- - - - - - ϹΤΙϹΕΙΛΑΤ . . . . Ν - - - - - - -
- - - - - - - ΙΚΡΥΠΤΙ . . ΕΙΝΟΜΕ - - - - - -
[- - - - - τὴ]ν ϲ̣ύνοδον . . . ΙΟΝ - - - - -
- - - - - - - ΛΕϹΟΝΤ . . ΟΙΝ . . ΙΕϹ . . Ε - - - - -
- - - - - - - - \ ΔΟΙ ἐὰν τῶν ⊦ ΔΟΕ . . Ε - - -

De tempore nihil certi affirmari potest.

1337 (II 627). DECRETVM ORGEONVM. Piraei, nunc in museo nat. Tabula marmoris Pentelici aetomate superata a. 0,47, l. 0,52, cr. 0,105. Litt. alt. 0,010 Α = Λ Θ Π Σ Τ Φ. Exscr. †Koehler[1]. (Foucart *Assoc. relig.* 197 nr. 10. Michel 1561). *Ect. Phot.*

Θ ε ο ί.
a. 95/4. Ἐπὶ Ἡρακλείτου ἄρχοντοϲ· Ϲκιροφοριῶνοϲ ἀγορᾶι κυρίαι· non ϲτοιχ.
ἔδοξεν τοῖϲ ὀργεῶϲιν· v Ϲάτυροϲ Μενίϲκου Αἰξω[νεὺϲ] 42–50.
εἶπεν· περὶ ὧν ἀπαγγέλλει ἡ ἱ(έ)ρεια τῆϲ Ϲυρίαϲ θ[εοῦ]
Νικαϲὶϲ Φιλίϲκου Κορινθία περὶ τῶν θυϲ[ιῶν ὧν ἔθυεν]
τεῖ τε Ἀφροδίτει τεῖ Ϲυρίαι καὶ τοῖϲ ἄλλοιϲ θε[οῖϲ οἷϲ πάτρι]-
ον ἦν, v ἀγαθεῖ τύχει τὰ μὲν ἀγαθὰ δέ[χεϲθαι τὰ γεγονότα]
ἐν τοῖϲ ἱεροῖϲ ὑπέρ τε τῶν ὀργεώ[νων καὶ - - - - -]·
ὅπωϲ [ἂ]ν οὖν καὶ οἱ ὀργεῶν[εϲ φαίνωνται - - - χά]-
ριταϲ ἀπονέμοντεϲ [καὶ τιμῶντεϲ καταξίωϲ τοὺϲ φιλο]-
τιμουμένουϲ [εἴϲ τε τὴν θεὸν καὶ τὸ κοινὸν τῶν ὀργεώνων, ἐπαι]-
νέϲαι τὴν ἱ[έρειαν - - - - - - - - - - - - - - - -]

Suppl. †Koe. || 6/7 πάτριον. 10 Wilam.
De Heraclito archonte (a. 95/4) cf. PA 6503.
V. 6 Ἀφροδίτει Ϲυρ. cf. Ferguson *Hellenist. Ath.* 423.

1338 (II 628). DECRETVM SYNODI ARTIFICVM SCAENICORVM IN HONOREM PHILEMONIS EPIMELETAE. Eleusine, nunc in museo Eleusinio (catal. nr. 295). Tabula marmoris Pentelici a. 0,56, l. 0,50, cr. 0,135. Eae litterae dextrae partis, quas Koehler in apographo praebet, nunc perierunt, litteris subscriptis significatae sunt. Litt. alt. 0,005 Α Ξ Θ Π Τ Υ Ω. Exscr. v. 1—6, reliquos ex ectypo reddidit †Koehler[1]. (C. Keil Schedae epigr. Numburgi 1855, 47 sqq. Michel 1010). Cf. van der Loeff De ludis Eleusiniis. Lugd. Batav. 1903 p. 82. Wilhelm *Wiener Stud.* XXIX 1907, 5. *Ect.*

- - - - - - - - - - ται Ἀθηναίων περ[ι - - - - - - - - - - - - - - - -] non ϲτοιχ. (vide infra).
[- - - - - - τ]ῶν ἰδίων ἀπαλλαγέντεϲ - - - - - - - - - - - - - - - -
[- - - - - - ἄν]θρωποι διεξαγωγὴν τῶν μ - - - - - - - - - - - - - - - -
- - - - - - -ϲιν ἐποιήϲατο, θυϲίαϲ δὲ καὶ μυϲτ[ήρια - - - - - - καὶ ἀγῶναϲ γυμνι]-
[κοὺϲ καὶ μουϲ]ικοὺϲ τε καὶ ϲκηνικοὺϲ αὐτὸϲ ἐπιτελεῖν ἐψ[ηφίϲατο - - - - - - - -]
[- - - καὶ ἡ ϲύν]οδοϲ τῶν περὶ τὸν Διόνυϲον τεχνιτῶν διὰ παντὸ[ϲ - - - - - - - -]
- - - - - - ϲυναύξουϲα καθ' ὅϲον ἐϲτὶ δυνατὴ τάϲ τε θυϲίαϲ καὶ τἆλλα πάντα τ[ὰ ἐψηφ]-
[ιϲμένα ὑ]π' αὐτ[οῦ] τοῖϲ τε θεοῖϲ καὶ τοῖϲ εὐεργέταιϲ τίμια ἐψηφίϲατο καὶ αὐτὴ θύε[ιν]
[καὶ ϲπένδ]ειν τῆι Δήμητρι καὶ τῆι Κόρηι ταῖϲ μυϲτηριώτιϲιν ἡμέραιϲ καὶ βωμὸν ἱδρυϲ[αμ]-
[ένη καὶ] τέμενοϲ καταϲκευάϲαϲα ἐν Ἐλευϲῖνι ϲπονδὰϲ καὶ παιᾶναϲ ἐπιτελεῖ(ν)· ὧν ἐπιϲχ-
[εθέντω]ν ἐπὶ ἔτη καὶ πλείονα καὶ τοῦ τε βωμοῦ, καὶ τοῦ τεμένουϲ ἀναιρε-
[θέντ]οϲ διὰ τὴν κοινὴν περίϲταϲιν Φιλήμων ἐπιμελητὴϲ τὸ [τρ]ί[τον]
post a. 86. [γενόμ]ενοϲ ἐν τῶι ἐπὶ Αἰϲχραίου ἄρχοντοϲ ἐνιαυτῶι ἀνεκτ[ή]ϲα-
[το τὰϲ] πατρίουϲ ταῖϲ θεαῖϲ θυϲίαϲ καὶ πρῶτοϲ αὐτὸϲ θύϲαϲ [ἐ]ν Ἐ-
[λευϲ]ῖνι τῆι Δήμητρι καὶ τῆι Κόρηι καὶ τὴν λοιπὴν δαπάνην καὶ χορη-
[γίαν] ἐπιδεξάμενοϲ ὑπεδέξατο τὴν ϲύνοδον ἐκ τῶν ἰδίων,
[προϲ]εμέριϲεν δὲ καὶ ἐκ τῶν κοινῶν εἰϲ ἄλλαϲ ἡμέραϲ δύο καὶ ἐμ
[πάϲα]ιϲ καλλιερήϲαϲ ταῖϲ ἡμέραιϲ τὰϲ ἐψηφιϲμέναϲ ὑπὸ τῶν πατέ-
[ρων] ϲπονδὰϲ καὶ ἐπιχύϲειϲ καὶ παιᾶναϲ ταῖϲ θεαῖϲ ἐπετέλεϲεν,
[ὧ]ν ἀϲμένωϲ οἱ τεχνῖται λαβόντεϲ ἀνάμνηϲιν παρεκάλεϲαν
[α]ὐτὸν καὶ προετρέψαντο μετὰ πάϲηϲ προθυμίαϲ προνοηθῆναι καὶ
τῆϲ τοῦ τεμένουϲ καταϲκευῆϲ ὅπωϲ ἐπὶ τῆϲ πατρώιαϲ ἑϲτίαϲ ἀν[εμ]-
ποδίϲτωϲ κατ' ἐνιαυτὸν ἐπιτελῶϲιν τὰϲ θυϲίαϲ, ὃ δὲ καὶ διὰ τὴ[ν]
πρὸϲ τὰϲ θεὰϲ εὐϲέβειαν καὶ διὰ τὴν πρὸϲ τοὺϲ τεχνίταϲ ἀνυπέρθε-
τον εὔνοιαν διὰ τῆϲ ἰδίαϲ ἐπιμελείαϲ ἐξ ὧν ἀνεῦρεν αὐτὸϲ τῆι
ϲυνόδωι προϲόδων τὴν καταϲκευὴν τοῦ τεμένουϲ ἐποιήϲατο
καὶ τὸν ἀνειρημένον ὑπὸ τῆϲ περιϲτάϲεωϲ βωμὸν αὐτὸϲ πάλιν κα-
θιδρύϲατο, προενοήθη δὲ ἐκτενῶϲ καὶ τῆϲ τῶν κοινῶν ἐμ πᾶϲιν ἐπα-
νορθώϲεωϲ καὶ τὸν κύκλον τῶν δανείων μεταπαρέδωκεν ἐκβαί-

νων ἐκ τῶν ἐπιμελειτειῶν πολλοῖς ἐπευξημένον χρήμασιν, ὥστε
μὴ μόνον εἰς [ἃ]ς ἀνενεώσατο τῆι Δήμητρι καὶ τῆι Κόρηι θυσίας, ἀλλὰ καὶ
εἰς ἑτέρας πλείονας διὰ τὴν τούτου σπουδὴν γεγονέναι τῆι συνόδωι
προσόδους· βιασαμένων δὲ αὐτὸν τῶν τεχνιτῶν πάλιν τὸ τέταρτον
ὑπομεῖναι ἐπιμελητὴν εἰς τὸν ἐπὶ Σελεύκου ἄρχοντος ἐνιαυ-
τὸν πρὸς ταῖς λοιπαῖς εἰσφοραῖς καὶ χορηγίαις καὶ ἐν Ἐλευσῖνι θύσας
ἔν τε τῶι ἱερῶι καὶ ἐν ὧι πρῶτος αὐτὸς κατεσκευάσατο τεμένει ἐφ' οὗ
ἱδρύσατο βωμοῦ τά τε θύματα καὶ τὴν λοιπὴν χορηγίαν πᾶσαν ἐπιδεξά-
μενος ὑπεδέξατο τὴν σύνοδον ἐκ τῶν ἰδίων μεγαλομερῶς, προσε-
μέρισε δὲ καὶ τὰς διατεταγμένας ἐκ τῶν κοινῶν ἡμέρας δύο καὶ ἐμ πά-
σαις ἐκαλλιέρησε ταῖς θεαῖς καὶ τὰς πατρίους σπονδὰς ἐπετέλεσεν·
[πολλὰ δὲ κα]ὶ ἄλλα ἐπολιτεύσατο καλὰ καὶ συμφέροντα τῆι συνόδωι καὶ
[προσεδαπάνησεν ἐκ τ]ῶν ἰδίων ἔν τε ταῖς ἐπιμελητείαις καὶ ἱερωσύναις
[- - - - - - προκρίνω]ν τὴν τῶν τεχνιτῶν εὔνοιαν παντὸς χρήμα-
[τος - - - - - - - - - - - -]οὐ μόνον δὲ πρὸς τὴν σύνοδον
- - - - - - - - - - - - - - - - διακείμενος ἀποδο[χ]-
[ῆς - - ἠξιώθη - - - - - - - - - ἐκ τῶ]ν νόμων καὶ
- λιμεν-

Versus 1—10 litteris magis coartatis exarati sunt quam ei qui sequuntur; illi = 67—70 litt., hi = c. 50. Suppl. †Koe. || 43 Wilh. V. 10 fin. Λ Ξ Ι Ω.

V. 5 αὐτὸς ἐπιτελεῖν ἐψηφίσατο· V. 1—5 de decretis et institutis populi Atheniensium sermonem esse recte iudicat Koe.; item v. 7/8 voces τὰ ἐψηφισμένα ὑπ' αὐτοῦ ad populum Atheniensium spectant. Ex eis quae sequuntur colligitur synodum artificum scaenicorum decrevisse ταῖς μυστηριώτισιν ἡμέραις sc. per Mysteriorum magnorum tempus inde a die 20 mensis Boedromionis (Mommsen *Feste* 241. 245) sacrificare et libare Cereri et Proserpinae atque ara areaque constructis libationes et paeanes celebrare. Ab artificibus vero ludos scaenicos Mysteriis magnis actos esse ex hoc titulo probari posse negandum est; cf. van der Loeff l. c. 12 (vide etiam 27) τὴν κοινὴν περίστασιν· Referenda sunt haec ad cladem Atheniensium a Sulla a. 86 acceptam; Mommsen *Röm. Gesch.* II[7] 290 sqq. Sauppe De collegio artif. scaen. Att. *Ausgew. Schrift.* 715. Archontes Aeschraeus igitur (v. 13) et Seleucus (v. 34) paullo post a. 86 in munere fuerunt. 13 ἀνεκτήσατο τὰς πατρίους θυσίας· cf. infra in decreto Iobacchorum exclamationem: ἀνάκτησαι τὰ δόγματα. Dittenberger 737[12]. 29 τὸν κύκλον τῶν δανείων μεταπαρέδωκε πολλοῖς ἐπευξημένον χρήμασιν· Res obscura est. Keil ita interpretatur: »summam pecuniarum collegii, quae fenore datae erant, simul tradidit multis opibus auctam«. cf. Poland *Gr. Vereinsw.* 491.

1339 (II 630). DECRETVM COLLEGII HEROISTARVM. In radicibus septentrionalibus arcis, nunc in museo nat. Tabula marmoris caerulei a. 0,27, l. 0,22, cr. 0,08. Litt. alt. 0,007 Α Ξ Θ Π Σ Ω. Exscr. †Koehler[1]. (Michel 1562. C. Keil Schedae epigr. p. 37. Foucart *Assoc. relig.* p. 203 nr. 21). Cf. Wilhelm *Beitr.* 88. Ziebarth *Neue Jahrb.* 1904, 568. *Ect. Phot.*

a. 57/6. — non στοιχ. 30-35.

[Ἀγαθῆι τύχηι· Ἐ]πὶ Διοκλέους τοῦ Διοκλέ[ο]-
[υς ἄρχοντος], ταμιεύοντος Ἀρόπου τοῦ Σε-
[λεύκου - - -]ως Ἡροϊστῶν τῶν Διοτίμου
[καὶ Ζήνωνος? κ]αὶ Παμμένου, ὧν ἀρχερανιστὴς
[Ζηνίων? Διοτί]μου Μαραθώνιος· ἔδοξεν τῶ[ι κοι]-
[νῶι τῶν Ἡρ]οϊστῶν, προνοηθῆναι τῆς [προσ]-
[όδου ὅπω]ς οἱ ἀποδημοῦντες τῶν Ἡ[ροϊσ]-
[τῶν καθ' ὀν]δηποτεοῦν τρόπον διδῶ[σι εἰς]
[τὴν θυσίαν?] δραχμὰς τρεῖς, οἱ δὲ ἐπιδη[μοῦν]-
[τες καὶ] μὴ παραγινόμενοι ἐπάναγκ[ες]
[ἀποδιδῶ]σι τὴν φορὰν τὰς ἓξ δραχμ[ὰς ἐ]-
[ὰν καὶ μὴ? λάβ]ωσιν τὰ μέρη· ἐὰν δὲ μὴ διδ[ῶσι]
[τὴν φοράν, ἔ]δοξεν μὴ μετέχειν αὐτο[ὺς]
[τοῦ ἐράν]ου ἐὰν μή τινι συμβῆι διὰ πέ[ν]-
[θος ἢ διὰ ἀ]σθένειαν ἀπολειφθῆναι· ὁμ[οί]-
[ως δὲ ἔδοξ]ε ἐμβιβάζειν ἐξεῖναι τοῖς [τε]-

[λοῦσιν ἔραν]ον δραχμῶν τριάκοντα κα[ὶ]
- - - - - ων ἓξ δραχμῶν καὶ μὴ π.c. 3.
. . . . c. 9 . . . . , ὑπὲρ τούτων δὲ ἀναδιδ[όν]-
[αι τὴν ψῆφον - - - - - - - -]

Suppl. †Koe. || 3. 6/7 προσόδου (συμβολᾶς Michel). 19/20 Keil. || 4 et 5 Wilh. coll. PA 2165. 4390. 4391. Vide etiam PA 4377 et Ziebarth *Neue Jahrb.* 1904, 568. || 16/7 Wilam. V. 5 in. ΜΟΥ Wilh. || 16 fin. ΤΟΙΣ‾.
De Diocle archonte (a. 57/6) cf. PA 4032.
V. 12 λάβωσιν τὰ μέρη· cf. supra t. 1283, 31. 16 ἐμβιβάζειν - - δραχμῶν τριάκοντα· Hanc summam ad εἰσηλύσιον refert Wilhelm *Jahresh.* V 1902, 139.

1340 (II 5, 626c). DECRETVM COLLEGII? IN HONOREM APOLLONIDIS. Prope horologium Andronici, nunc in museo nat. Fragmentum tabulae marmoris Pentelici aetomate superatae a. 0,18, l. 0,12, cr. 0,04. Litt. alt. 0,006 ΑΜΠΣΥΘ. Edd. litt. minusc. Kumanudes Ἐφ. 1890, 111. Ex ectypo Koehler[1]. *Ect.*

med. s. I. — non στοιχ.

[Ἀγαθῆι τύχηι· Ἐπὶ Μηδεί]ου τοῦ Μηδείου
[ἄρχοντος] *vacat*
- - - - - - - - χάρου Λαμπτρέως
[- - - - - - ἐπειδ]ὴ Ἀπολλωνίδης
- - - - - - - - ἐπὶ Θεοξένου ἄρχον-
[τος - - - - - - ἔ]μφυτον ἔχων τὸν
[- - - - - - - - θ]εὸν ὁσίως καὶ δικαί-
[ως - - - - - - κ]ατακε[κ]λειμένω?
- - - - - - - δὲ ἀποπραξάμενο[ν]

Suppl. Kum. || 1. 4 Koe.
De aetate archontis Medei Medei f. vide PA 10099. Θεόξενος archon (v. 5) medii s. I aliunde ignotus est.

1341 (II 629). DECRETVM ARTIFICVM SCAENICORVM. In arce, nunc in museo nat. Fragmenta duo marmoris Pentelici, quae coniunxit Koehler[1]. Fr. *a* (nr. lap. 995) a. 0,23, l. 0,19, cr. 0,162. Ed. †Dittenberger IG III 56 apographo usus Velseni. Exscr. Koehler[1]. Fr. *b* (nr. lap. 1098) a. 0,26, l. 0,21, cr. 0,14. Exscr. †Koehler[1]. Litt. alt. 0,008 ΑΞΚΣΤΘ. *Ect.*

med. s. I. — non στοιχ.

a

- - - - - ε̣ - - - - - - - - - -
- - - - - αν - - - - - - - - - -
- - - - αὐτοῦ - - - - - - - - -
[- - Ἀπ]όλλων - - - - - - - - -
- - - - αι καθ' [ἕκ]αστο[ν - - - - -]
[ἐπὶ - - -]ου ἄρχοντος μ[ηνός? - - - -]
[- - πρό]σοδον ἅπασαν - - - - - - -
- - - ν αὐτὴν γίνεσθ[αι - - - - - -]
- - - ου καὶ τοῦ ἀδελφο[ῦ - - - - -]
[- ἀδ]ελφὸν αὐτῶν αἱρε[ῖσθαι - - - - -]
[- δί]δοσθαι ἐν τῇ προγε[γραμμένηι? - -]
- - θεοὺς μόνοις τούτοι[ς - - - - -]
- - αὐτῶν κ[α]ὶ ἐν τῇ τοῦ [- - - ῶνος]
[μηνὸς] ἑβδόμῃ καὶ ἐν τ[ῆι τοῦ - - ῶνος]
[μηνὸς ἕνηι κ]αὶ νέαι κα[ὶ - - - - - -]
- - - - - - εἰσιν εὐ - - - - - -
- - - - - - - ομεν - - - - - -

b

- - - - - - - η . ε - - - - - - -
[- - - - Ἀπό]λλω - - - - - - - -
- - - - - - λουμεν - - - - - - -
- - - - - - ἀποδόσει τ - - - - - -
- - - - - - λα καὶ τίμια - - - - -
- - - - - - ων. *v* ἀναγράψαι δὲ - - -
- - - - - Λεύκιον καὶ τὸ η - - - - -
[- - Ἀπόλ]λωνος καὶ τῶν Μο[υσῶν - - -]
[- - - - συ]νόδου ἀναγεγρ[α - - - -]
vacat 0,03
Ἡ σύνοδος.

Suppl. *a* et *b* Koe. || *a* 6 fin. 10 fin. 11 fin. 13 fin. 14 Dttb. || *a* 7 Ki.
Apollinem et Musas ab artificibus scaenicis cultos esse certis testimoniis constat [Koe.]; cf. Poland *Gr. Vereinsw.* p. 186.

1342 (II 640). DECRETVM THIASI? Ex lapidibus Elginianis, nunc in museo Britannico. Fragmentum marmoris caerulei undique fractum. Litt. alt. 0,009 ΑΕΠΣΟΩ. Ed. †Hicks *I. mus. Brit.* I nr. 20, cuius exemplum expressit Koehler[1]. *Ect.*

med. s. I (?) non ϲτοιχ.

- - - -χ. τᾶϲ βο- - - - - -
- - -ρο. Γαργηττιο- - - - - -
[- - ἐ]πὶ δέκα, ἀγορὰ κυρί[α - - -]
- - -δροϲ Λεω- - - -
[τύχηι ἀγαθ]ῆι δεδόχθαι τοῖϲ Λ- - -
- - - - -ι κυρίαϲ, ἐπειδ[ὴ - - -]
- - - -ονο. τῆι δεκάτηι κ- - - -
- - - - - -νοϲ θυϲίαν - - - -
- - - - - - - - ἐϲτιν- - - - -

Suppl. Hicks. || 5 Klaffenbach.

1343 (II 5, 630b). DECRETVM COLLEGII SOTERIASTARVM IN HONOREM DIODORI APHIDNAEI. E regione Dipyli in sacello Dianae Servatricis (cf. Brueckner *Friedhof am Eridanos* 53), nunc in museo nat. Tabula marmoris Hymettii a. 0,62, l. 0,32, cr. 0,10. Litt. alt. 0,008 Α Ε Δ Θ Ξ Π Σ. Edd. Mylonas Ἐφ. 1893, 49. Ex ectypo Koehler[1]. (Dittenberger 732. Michel 973). *Ect. Phot.*

in corona
Διόδω-
ρον Ϲω-
κράτουϲ
Ἀφιδναῖ-
ον
vacat 0,055

c. a. 37/6. non ϲτοιχ. (vide infra).

Ἐπὶ Θεοπίθου ἄρχοντοϲ, Μουνιχιῶνοϲ
ἕκτῃ· ἐπ[ε]ιδὴ [Δι]όδωροϲ Ϲωκράτου Ἀφ[ι]-
δναῖοϲ εὔνουϲ ὢν δ[ια]τελεῖ τῶι [κοινῶι] τῶι
Ϲωτηριαϲτῶν καὶ λόγῳ καὶ ἔργωι πράττω[ν] τ[ὰ]
ϲυνφέροντα τῇ ϲυνόδωι, γενηθεὶϲ δ[ὲ]
καὶ παραίτιοϲ τῆϲ ἄνωθεν ϲυλλογῆϲ καὶ
τὴν ϲύνοδον αὐτὸϲ κτίϲαϲ ἀρχερανιϲ[τ]-
ὴϲ ὑπέμεινεν, καὶ ταμιεύϲαϲ ἐν τῶι ἐπὶ
Εὐθυδόμου ἄρχοντοϲ ἐνιαυτῶι προεϲτά-
τηϲεν τοῦ θεμελιωθῆναι τὴν ϲύνοδον· ἀ-
διαλίπτωϲ δὲ ἐπαγωνιζόμενοϲ καὶ ἐν
τῶι ἐπὶ Νικάνδρου ἄρχοντοϲ ἐνιαυτῷ ταμιεύ-
ϲαϲ ὡϲαύτωϲ εὔξηϲεν τὰ κοινά· ἀκοπίατον δὲ
ἑατὸν παρεχόμενοϲ καὶ ἐν τῷ ἐπὶ Διοκλέουϲ
Μελιτέωϲ ἄρχοντοϲ ἐνιαυτῶι ταμιεύϲαϲ ἐποί-
ηϲεν ἐκ πλήρουϲ τὰ δίκαια καὶ τὰ νῦν ἐν τῶι
ἐπὶ Καλλικρατίδου ἄρχοντοϲ ἐνιαυτῷ ταμιεύϲαϲ π[ᾶ]-
ϲαν εἰϲηνέγκατο ϲπουδὴν καὶ φιλοτιμίαν περὶ τῶν κοι-
νῶν· καταϲταθεὶϲ δὲ καὶ ἱερεὺϲ τῆϲ Ϲωτείραϲ ἐν τῶι ἐ-
πὶ Μενάνδρου ἄρχοντοϲ ἐνιαυτῶι ἐκαλλιέρηϲεν καὶ ἀφιλαργύρωϲ
ἱϲτανόμενοϲ ἡϲτίαϲεν τοὺϲ ἐρανιϲτὰϲ ἐκ τῶ[[ι]]ν ἰδίων
ἀναλώϲαϲ οὐκ ὀλίγον χρῆμα· ἐφ᾽ οἷϲ ἅπαϲιν ἡ ϲύνοδοϲ ἀποδε-
ξαμένη τὴν ἐκτένειαν καὶ φιλοτιμίαν αὐτοῦ ὁμοθυμα-
δὸν προεβάλετο τοὺϲ εἰϲοίϲονταϲ αὐτοῖϲ τὰϲ καθηκού-
ϲαϲ τιμὰϲ Λεύκιον Ἀρτεμιδώρου Ἀζηνιέα, Δημήτριον Ἀρτε-
μιδώρου Λαμπτρέα, Διότιμον Δημητρίου Κηφιϲιέα, Φίλιππον
Φιλίππου Ἰκαριέα· τύχῃ ἀγαθῆι, δεδόχθαι τῷ κοινῶι τῶν Ϲωτηρι-
αϲτῶν, ὧν ἀρχερανιϲτὴϲ Διόδωροϲ Ϲωκράτουϲ Ἀφιδναῖοϲ, (ἐπαινέϲαι Διόδωρον Ϲωκράτουϲ Ἀφιδναῖον) καὶ
ϲτεφανῶϲαι θαλλοῦ ϲτεφάνωι ἐφ᾽ ῇ ἔϲχηκεν πρὸϲ τὴν ϲύνοδον
ἀδιαλίπτωι φιλοτιμίᾳ· ϲτεφανοῦϲθαι δὲ αὐτὸν καθ᾽ ἕκα[ϲ]-
τον ἐνιαυτὸν ὑπὸ τοῦ ἀεὶ ἐϲομένου ταμίου καθὼϲ καὶ οἱ
ἱερεῖϲ καὶ ὁ ἀρχερανιϲτήϲ· ἀναγορεύεϲθαι δὲ ὅτι τὸ κοι-
νὸν τῶν Ϲωτηριαϲτῶν ϲτεφανοῖ Διόδωρον κατὰ τὸ δό-

γμα. ἀναγράψαι δὲ τόδε τὸ δόγμα εἰς στήλην λιθίνην
καὶ ἀναθεῖναι ἐν τῶι τεμένει τῆς Σωτείρας, ἵνα τούτων
συντελουμένων πολλοὶ ζηλωταὶ γίνωνται τὴν
⟦τὴν⟧ σύνοδον ἐπαύξειν, βλέποντες τὸν κτίσαντα τυγ-
χάνοντα τῆς πρεπούσης εὐνοίας τε καὶ μνήμης.
Λεύκιος Ἀρτεμιδώρου Ἀζηνιεὺς εἶπεν· *vv* τῶ⟦ι⟧ν ψή-
φων αἷς ἐδόκει τόδε τὸ δόγμα κύριον εἶναι, ἑξήκον[τα]·
αἷς δὲ οὐκ ἐδόκει οὐδεμία.

Pars inferior lapidis minutioribus litteris exarata est, ut versus infra positi plures capiant litteras quam supra. Iota mutum mox additum mox omissum est; deest v. 9. 10. 17. 19. 22. 32. 34. Suppl. Myl. || 33 ἐπαινέσαι sqq. inseruit Koe.

De archontibus Euthydomo (v. 14 = a. 62/1), Nicandro (v. 17 = 41/0), Diocle Melitensi (v. 19 = 40/39), Callicratide (v. 22 = 38/7), Theopithe (v. 6 = 37/6) cf. Kolbe *Arch.* 141. Kirchner *Berl. phil. Wochenschr.* 1909, 853.

V. 11 ἄνωθεν· »de integro« Dttb.; vix recte »prioris« Hiller. 26 ἠστίασεν· cf. supra t. 1259 ἐπειδὴ οἱ ἑστιάτορες καλῶς καὶ φιλοτίμως ἐπιμεμέληνται. Dttb.

1344 (III 25). COLLEGIORVM DVORVM PACTVM. Ad vicum Menidi haud procul a sacello S. Nicolai. Fr. marmoris candidi a. 0,17, l. 0,09. Ed. Conze *Philol.* XII 1857, 569. Exscr. Velsen, cuius exemplum exhibet Dittenberger [1].

vacat οκλέου[ς - - -]
[Οἱ κατασταθέντ]ες κριταὶ ὑπὸ τῆ[ς συνόδου?]
[τῶν - - - -]στῶν Ἐράτων Ἐ[ράτωνος Αἰξωνεὺς?]
[- - - - Ἀ]λέξανδρος) Σουν[ιεὺς μετὰ - - -]
a. 28/9 p. Chr. [- τοῦ ταμιεύσ]αντος τὸν ἐπὶ Οἰνο[φίλου ἄρχοντος]
[ἐνιαυτὸν - -]νῳ καὶ Ἀντιόχῳ τῶ[ι - - - - -]
[- - - - Λ]ουκίῳ Δομιτίῳ Ἀκ- - - - - - - -
[- - - τοῖς] κατασταθεῖσι ὑπὸ - - - - - - - -
- - - - - - -ντες ἀμφοτέρων - - - - - - -
- - - - - - Ἀμφιάραον δικαι- - - - - - - -
[- - - τοῦ τ]αμιεύσαντος διαδο[χ- - - - - -]
[- - - γενομ]έν[ο]υς ταμίας, τὰ κο[ινὰ? - - -]
[ἀποδοῦναι? ἀνε]μπόδιστα τῷ κοινῷ - - - - - -
[- - - - ὑ]πευθύνους ἐσομ[ένους - - - - -]
[- - - - - κ]αταστάν, ἵνα ὑπ- - - - - - - -
- - - - - - -ται καθὼς καὶ - - - - - - -
[- - - - - -ψ]ήφῳ καὶ διτον?- - - - - - - -
- - - - - - -ΟΥΑΛΛΛΠ∪Β- - - - - -
- - - - - - - -λαίου τοῦ πα- - - - - - - -
- - - - - - - -ιῶνος μηνὸς - - - - - - -
- - - - - - - -ωνίου Ἀνυ- - - - - - - -

Suppl. Conze et Dttb. V. 2 Ἐράτων Ἐ. Αἰξ. est in tit. principatus Augusti IG III 107. 108.

Ex his reliquiis id solum intellegitur de duobus quibusdam collegiis dici, quorum utrumque certum numerum arbitrorum (κριταί) ad litem aliquam inter utrumque componendam dederit; atque prioris quidem partis arbitrorum nomina nominativo casu ponuntur, alterius dativo [Dttb.]. V. 9 Dttb. [συνελθό]ντες, Conze [ἀκούσα]ντες ἀμφοτέρων scribendum esse coniciunt. Ex v. 10 colligere licet rem aliqua ex parte ad templum Amphiarai Oropium spectare. [Dttb.].

Οἰνόφιλος archon fuit a. 28/9, hunc praecedit archon Θεμιστοκλῆς a. 27/8 (PA II p. 652). Homolle *Bull. Hell.* XVII 1893, 176 supplendum esse censet v. 1 [ἐπὶ Θεμισ]τοκλέου[ς ἄρχοντος]. At ex tituli ratione apparet Oenophilum ante, non post hoc decretum factum in munere fuisse.

1345 (III 19). DECRETVM ERANISTARVM. In arce. Ed. Chandler Inscr. II 22 p. 53. (CIG 267 et Dittenberger [1]).

a. 53/54 p. Chr.

[Ἐπὶ Διον]υσοδώρου ἄρχοντος, Μουνιχιῶνος· Νικίας) Πρασι-
[εὺς ἀν]έθηκεν· *vvv* τὸ κοινὸν τῶν ἐρανιστῶν ἐψ̣[ηφίσατο]·
ἐπ[ε]ιδὴ Νικίας) Π[ρ]ασιεὺ̣ς̣ ἀ̣ρ̣χε[ρ]ανιστὴς [διὰ πάν]-
των εὔχρηστο̣ν ἑαυτὸν παρέχει τῷ̣ κοι[νῶι· δεδόχθαι τῶι κοι]-
νῷ̣ Νι[κίαν - - - - - - - - - - - - - - - -]

Suppl. †Dttb.

Dionysodorus archon in munere fuit a. 53/4; Phleg. Trall. mirab. fr. 36, FHG III 619.

Decreto eranistarum v. 1 et 2 interposita sunt verba Νικίας) Πρασι[εὺς ἀν]έθηκεν, quibus indicatur honorificum illud decretum incisum esse basi anathematis cuiusdam a Nicia propter hos ipsos honores dedicati. [Dttb.].

1346 DECRETVM COLLEGII MVLIERVM DE OFFICIIS SACERDOTI EXSEQVENDIS. In museo nat. (Νέον εὑρετ. 389). Fragmentum tabulae marmoris caerulei a. 0,465, l. 0,31, cr. 0,09. Litt. alt. 0,010 Α Ε Ζ Π Σ. Exscr. Kirchner. *Ect.*

init. aetatis imperat.

- - - - - - - μ̣ε̣ι̣ν ⋮ ⋮ ⋮ υ - - - -
- - - - - - - τῇ̣ ἱερατευούσ[η̣ - - -]
[- - - - δια]τετήρηται μέχρι τω - . - -
. . . . τύχηι ἀγαθῆι δεδόχθαι ταῖς - - - -
[τ]ὴν γεινομένην ἀεὶ ἱέρειαν μετα[λαμβά]-
νειν μετὰ τῶν λοιπῶν καὶ τὴν ὅλη̣[ν τοῦ ἱεροῦ]
κατασκευὴν μετὰ χειρογράφου [πάντων]
τῶν π(α)ραδιδομένων αὐτῆι, τὴν [δὲ παρα]-
λαβοῦσαν ἀεὶ προνοεῖσθαι τῆς φυ̣[λακῆς αὐ]-
τῶν καὶ διαμονῆς εἰς τὸν ἅπαντα [χρόνον, κατα]-
σκευαζούσης ἑκάστης τὰ πρ[οσταττόμε]-
να ἐπ[ὶ] τοῦ ἰδίου ἐνιαυτοῦ· ἐὰν δέ [τις παρα]-
λαβο[ῦ]σα μὴ παραδῶι καθὼς παρέ[λαβε, ὀ]-
φείλε̣[ιν α]ὐτὴν τὸ ἐσόμενον ἀν[άλω]-
μα κ̣α[ὶ εἰσπ]ράττεσθαι ὑπὸ τῆς με[τ' α]ὐ̣τὴν]
ἱερε[ίας· μ]ηδεμιᾶι δὲ ἐξέστω [ἆραι? τὸν κόσ]-
μον κ̣α̣τὰ μηδένα τρόπον μηδ[ὲ μετα]-
θε[ῖ]ν[α]ι· ὀμνύναι δὲ ἐν τῶι Σκιροφοριῶν[ι]
τὴ̣[ν π]ροσιδρυομένην καὶ μέλ(λ)ουσαν
εἰ[σάγε]σθαι ἐξορκιζομένην ὑπὸ τῆ[ς]
π̣ρ̣ὸ αὐτῆς ἱερέας, ὅτι τηρήσει τόν τε
τῶν θεῶν κ(ό)σ(μ)ον καὶ τοῦ ἱεροῦ τὴν κατα-
σκευὴν ὁλόκληρον· *vvvvvv* ἵνα τού-
των συντελουμένων εὐσεβῶς ἔχη̣
ἑκάστη τῶν ἱερατευουσῶν τοῦ τε̣
κόσ(μ)ου τῶν θεῶν καὶ τοῦ ναοῦ εἰς τὸν ἅ-
παντα χρόνον. ἀναγράψαι δὲ τόδε
τὸ δόγμα εἰς στήλην λιθίνην καὶ κα-
θιερῶσαι πρὸς τὸν ἅπαντα χρόνον.
vacat 0,18

Suppl. Ki. Eodem modo suppl. 13/4. 15 fin. 16 in. Wilam. || 5. 7. 17 in. Wilam. et Hiller. || 6. 15 in. 16 fin. 17 fin. 18 in. Wilam. || 3 Hiller. V. 8 ΠΡΑ || 22 ΚΣΟΝ || 26 ΚΟΣΟΥ. V. 17/8 μεταθεῖναι· cf. t. 995, 10 καὶ εἰς τὸ [λοιπὸν μηθένα μετ]ατιθέναι μηθὲν ἐν τῶι [ἱ]ερ[ῶι].

1347 DECRETVM COLLEGII. In museo nat. Fragmentum tabulae marmoris Pentelici a. 0,17, l. 0,28, cr. 0,58. Litt. alt. 0,013 Α Ε Π Σ. Exscr. Ross in schedis, cuius apographum exprimendum curavit Fraenkel *SB. Berl. Akad.* 1903, 90 nr. 3. Denuo exscr. Kirchner. *Ect.*

init. aetatis imperat.

[- - - εἰ]π̣εν *v* δεδόχθαι Λ - - - - -
- - - - Εὐάνθους ὁ καθ[εστὼς - - -
[- - - Ζώ]πυρος ὡς νομίζετ[αι - - - -
- - - - ἐς τὸ ἡρῶιον *vacat*
vacat

Suppl. 1 Ki. || 2 fin. 3 fin. Wilam. || reliqua Fraenk. V. 1 in. ΙΕΝ Ross. Nunc hae litterae perierunt. || 3 ΝΟΜ Ross.

1348 (III 20). EPISTVLA TECHNITARVM BACCHIORVM AD IMPERATOREM DATA. RESPONSVM IMPERATORIS. In arce, nunc in museo nat. Fragmentum tabulae marmoris Pentelici a. 0,80, l. 0,36, cr. 0,115. Litt. alt. 0,010 Α Θ Μ Π Σ. Exscr. Pittakis *L'anc. Ath.* p. 328. Lueders *Die Dionys. Künstler* p. 176 nr. 81. Horum et Koehleri apographis usus ed. Dittenberger[1]. Nobis etiam praesto erat apographum Rossii, quod multifariam eadem praebet quae Pittakis. Lapis nunc ita corrosus est, ut haud exigua pars earum litterarum quas Koehler etiamtum vidit evanuerit. *Ect.*

med. s. II. p. Chr.

[Ἡ ϲύνοδοϲ τῶν περὶ τὸν Διόνυϲον καὶ - - - - - Ϲε]βα̣ϲτόν, [νέον Διόνυϲον],
[- - - - - - - - - - - - - - τεχνειτῶν ἱερονεί]κῶν ϲτεφανειτῶ[ν - - - - - -]
- - - - - - - - - - - - - - - - - - ἐν ταῖϲ μεγάλαιϲ ἑ[ορταῖϲ - - - -]
- - - - - - - - - - - - - - - - - - -ων ἐθέμεθα καὶ τὴν ε- - - - - - - -
[- - - - - - - - - - - - - - - - - ἀπ]οκρε[ι]νόμεθα μεμνη[μένοι? - - - - -]
- - - - - - - - - - - - - - - - - - -μεν καὶ τοὺϲ παρόνταϲ - - - - - -
[- - - - - - - - - - - - - - - - - ἀκρι]βέϲτατα μαθεῖν ἣν ἐπὶ - - - - - -
[- - - - - - - - - - - - - - - - - - Ἀν]τώνιοϲ Οὐρβανὸϲ ὁ̣ ὑ̣[πατικὸϲ - - -]
- - - - - - - - - - - - - - - - - - -ηθεν καὶ τῶν ἄλλων - - - - - -
[- - - - - - - - - - - - - - - - - εὐϲε]β̣ῆ καὶ δικαίαν ἐπαιν- - - - - - -
[- - - - - - - - - - - - - - - - - Ἀ]θηναίων πάντων - - - - - - - -
[- - - - - - - - - - - - - - - - - ἱερ]εὺϲ Μελπομένο[υ - - - - - - - -]
[- - - - - - - - - - - - - - - - - - ο]ὖν, ἃ δεῖ τοῖϲ Ἀττικοῖϲ - - - - - -
- - - - - - - - - - - - - - - - - - -ουϲ κατὰ δύ[ναμ]ιν - - - - - - -
[- - - - - - - - - - - - - - - - - - ἐ]ξαίρεϲιν ποιο[ύμ]εν[οι - - - - - -]
- - - - - - - - - - - - - - - - - - -μενα ὅθεν οὐ- - - - - - - - - -
- - - - - - - - - - - - - - - - - - ἔϲτιν γὰρ ἀκο̣- - - - - - - - - -
[- - - - - - - - - - - - - - - - - τη]ρήϲαντα ἡμ[ῖν το]ὺϲ μέλλοντα[ϲ - - -]
[- - - - - - - - - - - - - - - τοὺϲ] πρότερον ϲυνοδείταϲ ἡμετ[έρουϲ γενομένουϲ]
- - - - - - - - - - - - - - - - - - -των περὶ τούτου, καὶ νῦν δὲ - - - -
- - - - - - - - - - - - - - - - - - δέϲποτα. *vacat*
[Αὐτοκράτωρ - τῆι] ϲυνόδ[ωι τῶν περὶ]
[τὸν Διόνυϲον τεχνειτῶν χαίρειν - - - - - - - - - -] π. . . ϲ[υ]ναινεῖτε καὶ ὑμεῖϲ τοῖϲ
- τοὺ[ϲ] Ἁδριάνεια νικήϲανταϲ καὶ ΑΟΙ
[- - - - - - - - - - - - ἐκ τῆϲ ϲυνόδου τῆϲ] περιπολιϲτικῆϲ, μετέχειν ἔϲτω κ[αθὼϲ]
- ἔϲτιν καὶ ὑμῖν πά[ντ]α ὑπ' ἐμοῦ ϲ-

Suppl. Dttb. || 23 ϲυναινεῖτε Ki. (ἀποφαίνετε Dttb.). Ross haec habet: 5 in. ΟΚΡΙΙΟΜΕΘΑ. 14 ΟΥΣΚΑΤΑΔΥ. . . ΙΝ . . . . Ε. 17 fin. ΑΚΟ. 18 in. ΡΗΣΑΝΤΑ. 21 ΔΕΣΠΟΤΑ. 23 .Π. . \Σ.ΝΑΙΝΕΙΤΕ. 24 ΤΟ. . ΑΔΡΙΑΝΕΙΑΝΙΚΗΣΑΝΤΑΣΚΑΙΑΟΙ. 25 in. ΠΕΡΙΠΟΛΙΣΤΙΚΗΣ. 26 fin. ΠΑ. . ΑΥΠΕΜΟΥΣ.

Ex Hadrianeorum commemoratione iure colligitur titulum Hadriano neque antiquiorem esse posse neque multo recentiorem, ita ut imperator v. 22 aut Hadrianus ipse aut Antoninus Pius esse videatur. [Dttb.]. Cf. Riewald Diss. Hal. XX 3 p. 322 n. 110.

V. 12 ἱερεὺϲ Διονύϲου Μελπομένου ἐκ τεχνειτῶν est in inscriptione sedilium theatri Bacchici IG III 278 [Dttb.]. 25 περιπολιϲτικῆϲ· Synodus sc. non certae urbi adscripta erat sed huc illuc proficiscens et vagans; Boeckh ad CIG 349.

1349 (III 21; cf. Add. p. 479). EPISTVLA A SYNODO TECHNITARVM(?) AD IMPERATOREM DATA. Athenis, nunc in museo Britannico (marmor Elginianum). Lapis a superiore et a sinistra parte mutilus. Litt. alt. 0,013 Λ Ξ Π Σ Θ. Ed. † *I. Brit. Mus.* I 48 (Dittenberger[1]). *Ect.*

inter a. 138—161.

- - - - - - - - - -ω. . . . .ειϲ
[- - - - - ὑπ]ὲρ αὐτοῦ ἐκ τοῦ δή-
[μου? - θεῷ Ἁδ]ριανῷ τῷ πατρὶ
[- - ὑπὲρ ϲωτηρία]ϲ καὶ εἰϲ αἰῶνα δια-
[μονῆϲ - - - -] μέγιϲτε Αὐτο(κράτωρ)
[- - - - - - φιλ]ανθρωπίαϲ βε *vacat*
[- - - - - καθὼϲ] ἐπεϲτάλκαμεν
- - - - - - - - - Ὡρούνκῳ τῷ ἄρ[χοντι *vel* ἀρχιερεῖ]
- - - - - - - - -ων ϲοῦ ὑπὲρ ἡμῶ[ν]
- - - - - - - - Αὐτοκράτωρ, εὐχόμεθα.

vacat

V. 3 fin. post πατρί, 5 fin. post Αὐτο compendii signa exstant. Suppl. †Hicks. || 3 Dttb. Ex v. 3 Dttb. colligit epistulam ad Antoninum Pium datam esse. V. 8 Ὠρούνκωι scriptum est pro Aurunco; Dttb. cf. Prosop. imp. Rom. I p. 220 nr. 1340.

1350 (III 22; cf. p. 479). DECRETVM SYNODI TECHNITARVM. Athenis (?), nunc in museo Britannico (marm. Elginianum). In superiore parte lapidis patera sculpta est. Litt. alt. 0,010 Α Ε Η Θ Ϋ = Ψ Μ Ε Η Μ Ε. Ed. † *I. Brit. Mus.* I 49 (Dittenberger [1]). *Ect.*

a. 138—161.

Ἀγαθῆι τύχηι·
ψήφιϲμα τᾶϲ ἱερᾶϲ Ἀδριανᾶϲ Ἀντωνεί[ν]ηϲ
θυμελικᾶϲ περιπολιϲτικᾶϲ μεγάληϲ ϲυνόδου
τῶν ἀπὸ τᾶϲ οἰκουμένηϲ περὶ τὸν Διόνυϲον καὶ
Αὐτοκράτορα Καίϲαρα Τίτον Αἴλιον Ἀδριανὸν
Ἀν[τωνεῖνον] Σεβαϲτὸν Εὐϲεβῆ νέον Διόνυϲον
[- - - - - - - - \ Ι ' Δι]όνυ[ϲοϲ - - - - -]

V. 7 suppl. Dttb.
Decretum ipsum periit. De origine Attica non constat.

